καὶ ὁ ἅγιος ἐξ ὄρους κατασκίου δασέος.
διάψαλμα.
ἐκάλυψεν οὐρανοὺς ἡ ἀρετὴ αὐτοῦ,
καὶ αἰνέσεως αὐτοῦ πλήρης ἡ γῆ.
4 [4]καὶ φέγγος αὐτοῦ ὡς φῶς ἔσται,
κέρατα ἐν χερσὶν αὐτοῦ,
καὶ ἔθετο ἀγάπησιν κραταιὰν ἰσχύος αὐτοῦ.
5 [5]πρὸ προσώπου αὐτοῦ πορεύσεται λόγος,
καὶ ἐξελεύσεται, ἐν πεδίλοις οἱ πόδες αὐτοῦ.
6 [6]ἔστη, καὶ ἐσαλεύθη ἡ γῆ·
ἐπέβλεψεν, καὶ διετάκη ἔθνη.
διεθρύβη τὰ ὄρη βίᾳ,
ἐτάκησαν βουνοὶ αἰώνιοι.
7 [7]πορείας αἰωνίας αὐτοῦ ἀντὶ κόπων εἶδον·
σκηνώματα Αἰθιόπων πτοηθήσονται
καὶ αἱ σκηναὶ γῆς Μαδιαμ.
8 [8]μὴ ἐν ποταμοῖς ὠργίσθης, κύριε,
ἢ ἐν ποταμοῖς ὁ θυμός σου,
ἢ ἐν θαλάσσῃ τὸ ὅρμημά σου;
ὅτι ἐπιβήσῃ ἐπὶ τοὺς ἵππους σου,
καὶ ἡ ἱππασία σου σωτηρία.
9 [9]ἐντείνων ἐντενεῖς τὸ τόξον σου
ἐπὶ τὰ σκῆπτρα, λέγει κύριος.
διάψαλμα.
ποταμῶν ῥαγήσεται γῆ.
10 [10]ὄψονταί σε καὶ ὠδινήσουσιν λαοί,
σκορπίζων ὕδατα πορείας αὐτοῦ·
ἔδωκεν ἡ ἄβυσσος φωνὴν αὐτῆς,
ὕψος φαντασίας αὐτῆς.
11 [11]ἐπήρθη ὁ ἥλιος, καὶ ἡ σελήνη ἔστη ἐν τῇ τάξει αὐτῆς·
εἰς φῶς βολίδες σου πορεύσονται,
εἰς φέγγος ἀστραπῆς ὅπλων σου.
12 [12]ἐν ἀπειλῇ ὀλιγώσεις γῆν

$3^2$ κατασκ. δασεος S^c^LC Sy] pr. φαραν BS*AQW: sic teste Sy α′ σ′ θ′ | $3^3$ μεταβολη διαψαλματος W† (hic, non in $9^3$ $13^5$): item pau. in alia eiusdem capitis uersione || $5^2$ εν πεδ(ε)ιλοις AQ] εν πεδαις W† (uariis modis correctus), εις πεδια BS(+ν S^c^), εις παιδειαν LC | οι ποδες AQW] κατα ποδας BSLC || $6^1$ η > S*† | $6^2$ διετακη] δι > S*LC | $6^3$] pr. και QA^c^ || $7^1$ πορ. αιω. αυτου trahit 𝔐 ad 6 | αιωνιας BSQWpau.] -νιους rel. | αντι] + δε S^c^L†: trahunt praecedentia ad 6: = 𝔐 | $7^3$ αι > SC, και αι > L† | μαδιαν S*† || $8^1$ ωργ(ε)ισθης BS] οργ. AQWLC | $8^3$ > S*† | $8^5$ η > S*† || $9^1$ εντενεις] ενετ(ε)ινας BS*† | το > BS*† | $9^2$ τα AQWL] > BSC | $9^4$ ποταμω S^c^† || $10^2$ αυτου AQW] > BSLC || $11^1$ επηρθη trahit 𝔐 ad 10 | τη > S*† || $12^1$ απειλη] + σου A